# Readings from the Greek New Testament

John 11:35 [3 words, 16 letters]
ἐδάκρυσεν ὁ Ἰησοῦς

1 Thess 5:16 [2 words, 14 letters]
πάντοτε χαίρετε

> Matt 26:49; 27:29 (“hail, greetings, good day”) — spoken to one person
> χαῖρε
>
> Matt 28:9 (“hail, greetings, good day”) — spoken to more than one person
> χαίρετε
>
> Acts 15:23; 23:26; James 1:1 (“hail, greetings”) — in a letter
> χαίρειν

Matt 5:13a
Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς·

Matt 5:14b
Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου.

Matt 5:18a
ἀμὴν γὰρ λέγω ὑμῖν

John 1:51
ἀμὴν ἀμὴν λέγω ὑμῖν

> Note: Doubled ἀμὴν ἀμὴν occurs in the N.T. only in the gospel of John, and there is is found 25 times: John 1:51; 3:3; 3:5; 3:11; 5:19; 5:24; 5:25; 6:26; 6:32; 6:47; 6:53; 8:34; 8:51; 8:58; 10:1; 10:7; 12:24; 13:16; 13:20; 13:21; 13:38; 14:12; 16:20; 16:23; 21:18. The Hebrew equivalent occurs 5x in the Hebrew Bible: אָמֵן אָמֵן, (Num 5:22; Neh 8:6), אָמֵן וְאָמֵן Psalm 41:14: end of book 1 of Psalms; 72:19: end of book 2 of Psalms; 89:53: end of book 3 of Psalms). The Septuagint (LXX) renders doubled “amen” by *translating* instead of *transliterating*, thus γένοιτο γένοιτο (except for Neh 8:6 [LXX 2 Esdras 18:6] where it is a single Αμην). However, at Psalm 106:48 (LXX 105:48, end of book 4 of Psalms) LXX has γένοιτο γένοιτο where the Hebrew text has a single אָמֵן.

Matt 5:22a
ἐγὼ δὲ λέγω ὑμῖν

Matt 5:37a
ἔστω δὲ ὁ λόγος ὑμῶν ναὶ ναί, οὒ οὔ·

Matt 6:19a
Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς,

Matt 6:20a
θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ,

Matt 6:21
ὅπου γάρ ἐστιν ὁ θησαυρός σου, ἐκεῖ ἔσται καὶ ἡ καρδία σου.

Matt 6:22a
῾Ο λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός.

Matt 6:33
ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν [τοῦ θεοῦ]
καὶ τὴν δικαιοσύνην αὐτοῦ,
καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

Matt 7:1
Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε·

## The Beatitudes
## Matthew 5:3–12

5.3 Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι,

ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

5.4 μακάριοι οἱ πενθοῦντες,

ὅτι αὐτοὶ παρακληθήσονται.

5.5 μακάριοι οἱ πραεῖς,

ὅτι αὐτοὶ κληρονομήσουσιν τὴν γῆν.

5.6 μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην,

ὅτι αὐτοὶ χορτασθήσονται.

5.7 μακάριοι οἱ ἐλεήμονες,

ὅτι αὐτοὶ ἐλεηθήσονται.

5.8 μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ,

ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται.

5.9 μακάριοι οἱ εἰρηνοποιοί,

ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται.

5.10 μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης,

ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

5.11 μακάριοί ἐστε

ὅταν ὀνειδίσωσιν ὑμᾶς

καὶ διώξωσιν

καὶ εἴπωσιν πᾶν πονηρὸν καθ᾽ ὑμῶν [ψευδόμενοι]

ἕνεκεν ἐμοῦ.

5.12 χαίρετε καὶ ἀγαλλιᾶσθε,

ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς·

οὕτως γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν.

**John 3:16**

Οὕτως γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον,

ὥστε τὸν υἱὸν τὸν μονογενῆ ἔδωκεν,

ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν

μὴ ἀπόληται

ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον.

## The Lord's Prayer
## Matthew 6:9–13

9 Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς·

ἁγιασθήτω τὸ ὄνομά σου·

10 ἐλθέτω ἡ βασιλεία σου·

γενηθήτω τὸ θέλημά σου,

ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς·

11 τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον·

12 καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,

ὡς καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ὀφειλέταις ἡμῶν·

13 καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,

ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

**John 1:1–5**

1 Ἐν ἀρχῇ ἦν ὁ λόγος,

καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν,

καὶ θεὸς ἦν ὁ λόγος.

2 οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν.

3 πάντα δι᾽ αὐτοῦ ἐγένετο,

καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. ὃ γέγονεν

4 ἐν αὐτῷ ζωὴ ἦν,

καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων·

5 καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει,

καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.

**1 John 1:1–5**

1 Ὃ ἦν ἀπ᾽ ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν,

ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς-

2 καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν

τὴν ζωὴν τὴν αἰώνιον ἥτις ἦν πρὸς τὸν πατέρα καὶ ἐφανερώθη ἡμῖν-

3 ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν καὶ ὑμῖν,

ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ᾽ ἡμῶν.

καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ πατρὸς

καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ.

4 καὶ ταῦτα γράφομεν ἡμεῖς,

ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη.

5 Καὶ ἔστιν αὕτη ἡ ἀγγελία ἣν ἀκηκόαμεν ἀπ᾽ αὐτοῦ καὶ ἀναγγέλλομεν ὑμῖν,

ὅτι ὁ θεὸς φῶς ἐστιν καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία.